τὴν χεῖρά μου· καὶ ἐξαποστελῶ ἐπ᾽ αὐτὴν τὰς τέσσαρας ἐκδικήσεις μου
τὰς πονηράς· ῥομφαίαν, καὶ λιμόν, καὶ θηρία πονηρὰ καὶ θάνατον, καὶ
τὴν μεταπέμψομαι αὐτήν, καὶ ἔσται εἰς ἀφανισμόν.. καὶ ἐὰν ὦσιν οἱ τρεῖς
ἄνδρες οὗτοι ἐν μέσῳ αὐτῆς, Νῶε καὶ Ἰὼβ καὶ Δανιήλ, ζῶ ἐγώ
λέγει ἀδωναῒ κύριος, οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες οὐ σωθήσονται· ἀλλ᾽ ἢ
οὗτοι μόνοι σωθήσονται. ἡ δὲ γῆ ἔσται εἰς ὄλεθρον. καὶ τὰ λοιπὰ λέξεως.
πέρας λαλήσω ἐπὶ ἔθνος, ἢ βασιλείαν τοῦ ἐξᾶραι αὐτούς, καὶ ἀπο-
λύειν· καὶ ἐπιστρέψῃ τὸ ἔθνος ἐκεῖνο ἀπὸ τῶν κακῶν αὐτῶν· καὶ
μετανοήσω περὶ τῶν κακῶν ὧν ἐλάλησα τοῦ ποιῆσαι αὐτοῖς· καὶ
πέρας λαλήσω ἐπὶ ἔθνος καὶ βασιλείαν τοῦ ἀνοικοδομεῖσθαι καὶ τοῦ
καταφυτεύεσθαι· καὶ ποιήσωσι τὰ πονηρὰ ἐναντίον μου, τοῦ μὴ
ἀκούειν τῆς φωνῆς μου, καὶ μετανοήσω περὶ τῶν ἀγαθῶν ὧν ἐλά-
λησα τοῦ ποιῆσαι αὐτοῖς. καὶ εἶπε πρός με· ἑώρακας υἱὲ ἀνθρώπου,
ἃ οἱ πρεσβύτεροι οἴκου Ἰσραὴλ ποιοῦσιν ὧδε. ἕκαστος ἐν τῷ κοιτῶνι
τῷ κρυπτῷ αὐτῶν. διότι εἶπον· οὐχ ὁρᾷ· ἐγκαταλέλοιπε κύριος τὴν γῆν. ὁ
ἑώρακας υἱὲ ἀνθρώπου; μὴ μικρὰ τῷ οἴκῳ Ἰούδα τοῦ ποιεῖν τὰς ἀνομίας, ἃς
πεποιήκασιν ὧδε. διότι ἔπλησαν τὴν γῆν ἀνομίας· καὶ ἐπέστρε-
ψαν τοῦ παροργίσαι με, ὡς μυκτηρίζοντες. οὐ φείσεται ὁ ὀφθαλμός
μου, οὐδὲ μὴ ἐλεήσω. καὶ κεκράξονται ἐν τοῖς ὠσί μου φωνῇ μεγάλῃ
λέγοντες. ἤγγικεν ἡ ἐκδίκησις τῆς πόλεως, καὶ ἕκαστος εἶχε τὰ σκεύη
τῆς ἐξολεθρεύσεως αὐτοῦ ἐν χειρί. καὶ ἰδοὺ ἓξ ἄνδρες ἤρχοντο ἀπὸ
τῆς ὁδοῦ τῆς πύλης τῆς βλεπούσης πρὸς βορρᾶν· καὶ ἑκάστου πέλυξ
ἐν χειρὶ αὐτοῦ· καὶ εἷς ἀνὴρ ἐν μέσῳ αὐτῶν ἐνδεδυκὼς ποδήρη,
καὶ ζώνη σαπφείρου ἐπὶ τῆς ὀσφύος αὐτοῦ. καὶ εἰσῆλθον καὶ ἔστησαν
ἐχόμενα τοῦ θυσιαστηρίου τοῦ χαλκοῦ. καὶ δόξα θεοῦ Ἰσραὴλ ἀνέβη ἐπὶ τῶν χερου-
βίμ, ἡ οὖσα ἐπ᾽ αὐτῶν εἰς τὸ αἴθριον τοῦ οἴκου. καὶ ἐκάλεσε τὸν ἄνδρα
τὸν ἐνδεδυκότα τὸν ποδήρη. καὶ εἶπε πρὸς αὐτόν· διέλθε μέσην
τὴν Ἱερουσαλήμ, καὶ δὸς τὸ σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν καταστεναζόν-

τῶν